ΙΩΝ. ἆρα δῆτ᾽ ἐκεῖ μ᾽ ἔφυσας; ΞΟΥ. τῷ χρόνῳ γε συντρέχει.

ΙΩΝ. κᾆτα πῶς ἀφικόμεσθα δεῦρο, ΞΟΥ. ταῦτ᾽ ἀμηχανῶ.

ΙΩΝ. διὰ μακρᾶς ἐλθὼν κελεύθου; ΞΟΥ. τοῦτο κἄμ᾽ ἀπαιολᾷ.

ΙΩΝ. Πυθίαν δ᾽ ἦλθες πέτραν πρίν; ΞΟΥ. εἰς φανάς γε Βακχίου.

ΙΩΝ. προξένων δ᾽ ἐν τοῦ κατέσχες; ΞΟΥ. ὅς με Δελφίσιν κόραις

ΙΩΝ. ἐθιάσευσ᾽, ἢ πῶς τάδ᾽ αὐδᾷς; ΞΟΥ. Μαινάσιν γε Βακχίου.

ΙΩΝ. ἔμφρον᾽ ἢ κάτοινον ὄντα; ΞΟΥ. Βακχίου πρὸς ἡδοναῖς.

ΙΩΝ. τοῦτ᾽ ἐκεῖν᾽ ἵν᾽ ἐσπάρημεν. ΞΟΥ. ὁ πότμος ἐξεῦρεν, τέκνον.

ΙΩΝ. πῶς δ᾽ ἀφικόμεσθα ναούς; ΞΟΥ. ἔκβολον κόρης ἴσως.

ΙΩΝ. ἐκπεφεύγαμεν τὸ δοῦλον. ΞΟΥ. πατέρα νυν δέχου, τέκνον.

ΙΩΝ. τῷ θεῷ γοῦν οὐκ ἀπιστεῖν εἰκός. ΞΟΥ. εὖ φρονεῖς ἄρα.

ΙΩΝ. καὶ τί βουλόμεσθά γ᾽ ἄλλο ΞΟΥ. νῦν ὁρᾷς ἃ χρή σ᾽ ὁρᾶν.

ΙΩΝ. ἢ Διὸς παιδὸς γενέσθαι παῖς; ΞΟΥ. ὃ σοί γε γίγνεται.

ΙΩΝ. ἦ θίγω δῆθ᾽ οἵ μ᾽ ἔφυσαν; ΞΟΥ. πιθόμενός γε τῷ θεῷ.

ΙΩΝ. χαῖρέ μοι, πάτερ, ΞΟΥ. φίλον γε φθέγμ᾽ ἐδεξάμην τόδε.

---

549. *ἀπαιολᾷ*] Musgravius, *ἀπαιολεῖ* libri. 551. *ἐν τοῦ*] Madvicus, *ἐν τῷ* libri. 552. *ἐθιάσευσ᾽*] Musgravius, *ἐθίασέ σ᾽* libri. *γε*] Musgravius, *τε* libri. 553. *κάτοινον*] Hervagiana 2, *κάτοικον* libri. 554. *ἐκεῖν᾽ ἵν᾽*] Elmsleyus, *ἐκεῖ νῦν* libri. *πότμος*] Heathius, *πότμος σ᾽* libri. 559. *ὅ*] Scaliger, *ἦ* libri. 560. *πιθόμενος*] Heathius, *πειθόμενος* libri.